eul_wid: vtu-ae

*Λεξικὰ Σεγουηριανά* · Seguerian Lexicons

# Names of Lawsuits

## *Δικῶν ὀνόματα*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Μικταὶ διάλεκτοι* Mixed Dialects
**Domain:** *Γραμματική* Grammar
**Format:** *Πεζός* Prose

t 181 ΔΙΚΩΝ ΟΝΟΜΑΤΑ ΚΑΤΑ ΑΛΦΑΒΗΤΟΝ. Ἀποπομπεῖα : ἀργυρᾶ καὶ χρυσᾶ ποτήρια ἐπέμπετο εἰς τὴν ἑορτήν.

alpha 183 ἰστέον δὲ ὅτι τὴν τριακοστὴν ἕνην καὶ νέαν καλοῦσιν. Ἄρδηττος : ὄρος ἐστίν, ἐν ᾧ τοὺς ὅρκους ἐποιοῦντο. Αἰμορίαι : ἐλαιῶν καρπός. καὶ τῆς ἐλαίας τῆς λεγομένης αἱμορίας τὸ στέλεχος σηκὸς λέγεται. Ἅμα : ἀντὶ τοῦ εὐθέως καὶ παραχρῆμα καὶ κατὰ τὸν αὐτὸν καιρόν. Αἴσθεσθαι καὶ αἰσθάνεσθαι : ἀμφότερα ἐπὶ τοῦ εἰδέναι. Ἀδέητος : ἐπὶ τοῦ μηδενὸς δεομένου καὶ πάντα ἔχοντος. Ἀνάπηρος : ὁ καθ' ὑπερβολὴν πηρός. Ἀσπαλίσαι : ἁλιεῦσαι, σαγήνευσαι. Ἀμείβεσθαι : ἐπὶ τοῦ χάριν εἰδέναι, καὶ ἐπὶ τοῦ κακὸν ἀντιδιδόναι. Ἀτυχεῖν : οὐκ ἐπὶ μόνου τοῦ δυστυχεῖν, ἀλλὰ καὶ ἐπὶ τοῦ ἀποτυχεῖν. Ἀνάστατος : ὁ καταλιπὼν τὴν οὐσίαν, καὶ ἐπὶ τῆς ἀλλοδαπῆς ζῆν αἱρούμενος. Ἀποδικάσαι : ἐπὶ τοῦ ἀποψηφίσασθαι. Ἀνάρασθαι : τὸ ἄνωθεν ἔρχεσθαι. Ἀμφιγνοεῖν : τὸ μὴ σαφῶς γνωρίζειν. Ἀπογινώσκειν : ἀφεῖναι τῶν ἐγκλημάτων. Ἀποστησάμενος : ἀντὶ τοῦ παραδοὺς τῷ σταθμῷ. Ἀνεπίδικα : ὅσα τις κατέχει τοῦ τετελευτηκότος ὡς πατρῷα καὶ παππῷα.

alpha 184 τὰ γὰρ δικαζόμενα παρὰ τῶν συγγενῶν Ἐπίδικα καλοῦσιν. Ἀρουραῖος Οἰνόμαος ὁ Αἰσχίνης ἐστίν, ὡς ὑποκριτής. καὶ Τραγικὸς Θεοκρίνης · συκοφάντης γὰρ οὗτος ἦν. Ἀλάστωρ : ὁ τὰ μεγάλα ἀδικήματα ποιῶν. καὶ Ἀλιτήριος ὁ πολλὰ ἠδικηκὼς καὶ κολάζεσθαι ἄξιος· Ἀλιτρὸς γὰρ ὁ ἁμαρτών. Ἀμφιορκία : ὅταν δύο μέρη ὀμόσῃ, καὶ οἱ δικασταὶ τὸν δικαστικὸν ὅρκον. Ἄρχοντες ἐννέα : οὗτοι πρὸ τῶν Σόλωνος νόμων ἦσαν. Ἀντιμαχῆσαι : ὅταν ἀντιποιῆταί τις οἰκίας ἢ χωρίου, καὶ ὁ πεπρακὼς ἑτέραν ζητῇ τιμὴν καὶ μάχηται, τοῦτο λέγεται ἀντιμαχῆσαι. Ἀντίδοσις : ὅσοι τεταγμένοι εἰσὶ τοῦ τριηραχεῖν διδόντες. Ἀποτιμᾶσθαι : ὅταν παραχωρῶσι τὴν οἰκίαν ἢ τὸ χωρίον διὰ τὸ μὴ δύνασθαι δοῦναι τὸ χρέος. Ἀρχαὶ μετατίθενται πρὸς τὰς μεταβολὰς τῆς τύχης καὶ τῶν καιρῶν. Ἀνομολόγητα : ὅταν ἀνανεώσῃ τις τὴν ὁμολογίαν. Ἀγραφίου : ὅταν τις τὴν ὁμολογίαν τοῦ χρέους ἐξαλείψας εἰσάγηται. Ἀποστασίου : ὅταν δοῦλος ἢ καὶ φαῦλος διισχυρίζηται ἐλεύθερος εἶναι. Ἀγράφου μετάλλου διὰ τῶν λάθρᾳ ἐργαζομένων ἀργύριον εἰσήγοντο οἱ συγγινώσκοντες. Ἀντιλαχεῖν ἀντικαλέσαι ἐστίν. Ἀπογράφειν οὐσίαν : τὸ λέγειν δημοσίαν τὴν οὐσίαν τινός. Ἀνασύνταξις : ὅταν διὰ τῶν γραμμάτων τινὰς κουφίσωσι, λέγεται. Β.

beta 185 (1t) Βάταλος : δειλὸς καὶ ἐκλελυμένος ἄνθρωπος κατὰ τὴν διάνοιαν, καὶ ὅλον τὸ σῶμα μαλακὸς καὶ αἰσχρός. Βακτηρία καὶ σύμβολον : ῥάβδον κατεῖχον οἱ δικάζοντες, καὶ σύμβολον

ἐλάμβανον ἀντιδιδόντες διὰ τὸ κομίσασθαι τὸ τριώβολον. Βωμολόχοι : πάντες οἱ ἀνελευθέρως κολακεύοντες, καὶ οἱ ἐν τοῖς βωμοῖς προσαιτοῦντες ἐν ταῖς θυσίαις. Γ.

gamma 185 (10t) Γραφὴ περὶ δημοσίων ἀδικημάτων, ἢ καὶ ἑτέρων ἀδικημάτων ὅτε τις εἰσάγεται. Γραμματεύς : ὁ ἀναγινώσκων τῇ βουλῇ καὶ τῷ δήμῳ τὰ προστεταγμένα· κατὰ χρόνους ἠλλάσσετο. ὁ δὲ καταγραφόμενος τὰ ἐν τῇ βουλῇ γενόμενα Ἀντιγραφεὺς ἐλέγετο. Γεννηταὶ φυλαὶ ἦσαν, ὥσπερ αἱ τριττύες. Δ.

delta 185 (20t) Δεκάτη καὶ εἰκοστή : οἱ Ἀθηναῖοι ἐκ τῶν νησιωτῶν ταῦτα ἐλάμβανον. Δεῦρο : πολλοὶ μὲν ἐπὶ χρόνου τάσσουσι τὸ δεῦρο, οἱ ῥήτορες δὲ ἐπὶ τόπου ἀεί. Διηγεῖσθαι καὶ ἐξηγεῖσθαι : διηγοῦνται οἱ ἄπειροι, ἐξηγοῦνται οἱ ἔμπειροι. ἐξηγεῖσθαι δὲ καὶ ἐπὶ τοῦ ἐξάρχειν τινός. Διειληχώς : διανείμας. Δίκης ἀνάκρισις : ὅταν μὴ θέλῃ ὁ φεύγων εὑρεθῆναι, κρίσις γίνεται. Δοκιμασίαν ἐπαγγεῖλαι : τὸ καταγγεῖλαι δίκην ἑταιρήσεώς τινα. Διαιτητήν : ὑπὲρ τὰ πεντήκοντα ἔτη ἦσαν κριταί.

delta 186 Δημοτεύεσθαι : τὸ ἐγγράφεσθαι εἰς ἕνα τῶν δήμων καὶ εἶναι ἐν τῷ ληξιαρχικῷ γραμματείῳ δημοτεύεσθαι ἐκαλεῖτο. Δίκη περὶ ἀδικημάτων καὶ ἐγκλημάτων εἰσαγομένη. εἰσὶ δὲ πολλαί, ὕβρεως, φόνου καὶ ἕτεραι πολλαί. Διαψήφισις καὶ ἀποψήφισις καὶ ἔφεσις : τοῦτο λέγεται τὸ φέρειν ψῆφον κατά τινων, καὶ ὅτε δέχονται, λέγεται διαψήφισις. καὶ ἡ μὲν τοῦ δήμου κατηγορία ἀποψήφισις λέγεται, ὅταν δὲ εἰς τὸ κοινὸν δικαστήριον, ἐκλήθη ἔφεσις. Διαδικασία : τοῦτο εἴρηται, ὅτε ἀμφισβητοῦσιν οἱ ταχθέντες εἰς δημόσιον δουλείαν, πότε χρὴ ἀπελθεῖν. Δωροξενίας : ὅταν τις δοκῶν κριθῆναι πάλιν εἰσάγηται. Διωμοσία καὶ ἀντωμοσία : ὅταν ὁ μὲν ἐγκαλῶν ὀμνύῃ ὅτι ἀληθὲς λέγει, ὁ δὲ ἐγκαλούμενος ἀντομνύῃ πάλιν. Διαγραφήν : τὸ ἀπηλλάχθαι τοῦ ἐγκλήματος τὸν φεύγοντα ἤτοι κατὰ συγχώρησιν τοῦ ἐγκλή... Διαλαχεῖν τὸ διανείμασθαι χρήματα λέγεται. ὅταν δὲ προγυμνάζηται ἡ δίκη πρὸ τῆς κυρίας, Προδικασία λέγεται. Διάγραμμα : ὃ λέγομεν ἀναγραφήν. Διοπείθης : οὗτος προδότης τῶν Ἀθηναίων κατηγορεῖται. Διαιτηταί : οἱ τὰ χωρία τοῖς ἀμφισβητοῦσι διανέμοντες οἱονεὶ κριταί. Δεκατεύοντες : ἀποτελοῦντες, ὡς οἱ κλάστικες ἐν τῷ ἱερῷ. Ε.

epsilon 187 (1t) Εὐθῦνα : πρὸς τοὺς κακῶς ἄρξαντας ζημία. Ἔνδειξις κατὰ τοῦ ἀνόμου καὶ ἀτίμου καὶ ἀνοσίου, τί δεῖ παθεῖν. Ἐφήγησις κατὰ τῶν ὑποδεχομένων δοῦλόν τινος ἢ ἕτερον δημόσιον. Εὐθυδικία : ὅταν τις εἰσάγηται μὴ προεγνωκὼς περὶ τῆς δίκης. Ἐξηγηταί : οἱ τοὺς νόμους δεικνύντες τοῖς ἀγνοοῦσι περὶ τοῦ ἀδικήματος. Ἐγγυῆσαι : ὅταν τις κρινόμενος παράσχῃ δοῦλον ἀνθ’ ἑαυτοῦ τιμωρηθῆναι. Ἐπιγραφεῖς : οἱ γραφόμενοι τὰ τιμήματα. Εὐμολπιδῶν γένους εἶναι λέγουσι τῶν Εὐμόλπου παίδων. Ἐνιαυσία καὶ ἐνιαυτός : ἣν ποιοῦσι τοῦ τετελευτηκότος μνείαν. ἔστι δὲ ἀρχή. Ἐν Δελφοῖς σκιά : εἴρηται περὶ τοῦ προσήκοντος. Ἐπίληπτος : ὁ νοσῶν τὴν ἱερὰν νόσον. Ἐκωδώνισεν : ἀντὶ τοῦ ἐπειράσθη τέτακται. Εἰσιτήρια : ἀρχὴ τοῦ ἔτους ἱερά, ἐν ᾗ προϊᾶσιν ἄρχοντες. Ἐγγενής : ἀστός. Ἐγχώριος καὶ ἐπιχώριος : ἐγχώριος ὁ ἐπιδημῶν, ἐπιχώριος ὁ ἐν αὐτῇ τῇ χώρᾳ γεγενημένος. Ἐπλινθεύθησαν : κατακλεισθέντες ἀπώλοντο ὑπὸ λιμοῦ. Εἰς ἐμφανῶν κατάστασιν : ὅταν τὰ ἐπιδικαζόμενα τεθῶσιν ἐπὶ τοῦ ὑπάρχου. Ἐπακτροκέλης : πλοίου εἶδος πειρατικοῦ. Ἔμβραχυ : τὸ εὐχερῶς πραττόμενον. Ἐκεῖ ἐν τόπῳ, Ἐκεῖσε εἰς τόπον.

epsilon 188 καὶ ἐπὶ χρόνου τάσσεται. Ἐξεστηκὼς οἶνος : διεφθαρμένος οἶνος τῆς ἰδίας ἐνεργείας. Ἐπαιτιώτατοι συκοφάνται. Ἐτίθευσεν : ἔθρεψεν. Ἐξούλης δίκη, ὅταν τις κριθῇ ἀπολαύων τὰ ἴδια νομίμως καὶ κωλύηται, καὶ πάλιν ἀναγκαζόμενος ἐγκαλῇ. ἴλλειν γὰρ ἔλεγον τὸ κωλύειν καὶ ἀπελαύνειν. Εὐρύβατον λέγουσιν ὅτι προδότης γέγονε Κροίσου, ἢ κλέπτης ὢν διὰ τῆς ὀροφῆς ἔφυγεν. Ἐφιάλτης : οὗτος ὑβρισθεὶς ἑαυτὸν τῆς βουλῆς ἀπεστέρησε, κατακρίνας αὐτήν. Ἐπ’ ἐκφορᾷ δόρυ ἐξενεγκεῖν : τοῦτο τοῖς βιαίως θνήσκουσιν ἐτίθετο τρεῖς ἡμέρας. οὕτως ἐκρίνετο. Ἑλληνοταμίας : τοὺς ἐκπεμπομένους διανεῖμαι τὰ τέλη τοῖς ἔξω ἄρχουσιν ἔλεγον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὕτως. Ἐν χιλίαις ὁ κίνδυνος καὶ χιλιῶσαι : οἱ κατηγοροῦντες τοὺς κλέπτας καὶ μὴ παριστῶντες χιλίας δραχμὰς ἐτέλουν, καὶ οἱ μάτην ἀπογραφόμενοί τινος οὐσίαν. Ἐπιστάτης · φύλαξ τῶν κοινῶν χρημάτων καὶ ἐπιτηρητὴς τῶν δικαστῶν. Ἐκμαρτυρεῖν : τὸ καταμαρτυρεῖν οὐχ ἅπερ εἶδέ τις, ἀλλ' ἅπερ ἤκουσεν. Ἐξομόσασθαι : ὅταν ἀρνῶνται οἱ μάρτυρες ὅτι οὐδὲν οἴδαμεν. Ἐκκλητευθῆναι : τῶν ἐκλιπόντων μαρτυρίαν τὰ ὀνόματα ἐν τῷ δικαστηρίῳ ἐκηρύσσετο. Ἐφέται : ἄνδρες ἄριστα βεβιωκέναι ἐπιστάμενοι, ὑπὲρ τὰ πεντήκοντα ἔτη γεγονότες, οἵτινες τὰ φονικὰ ἐδίκαζον. Ἐπωβελίαν : τὴν ζημίαν οὕτως ὠνόμασαν.

epsilon 189 Ἐνεπισκήψασθαι : ὅταν δημευθῇ τις καὶ τοῖς δανεισταῖς ἀντισκήψῃ τὸ ὀφειλόμενον αὐτοῖς ἀπογράψασθαι. Ἐχῖνοι : γραμματεῖα, ἅπερ ἐδίδουν τοῖς δικασταῖς αὐτοί. Ἐπώνυμοι : οἱ κατὰ ἀρετὴν προτερεύσαντες καὶ στηλωθέντες. Ἐνενόμεθα : ἐσπουδάζομεν, παθητικὸν ἀντὶ ἐνεργητικοῦ. Z.

zeta 189 (12t) Ζηλωτοῦ · ἐπὶ τοῦ ζηλοῦν λέγεται καὶ ἐπὶ τοῦ μακαρίζεσθαι καὶ μιμεῖσθαι καὶ ἐπαινεῖν καὶ βουλεύεσθαι καὶ ἀντικαταλλάσσεσθαι. H.

eta 189 (18t) Ἡλιαία καὶ ἡλιάζεσθαι : δικαστήριον ἀνδρῶν χιλίων καὶ ὁ τόπος, ἐν ᾧ οὗτοι δικάζουσιν. Ἡγεμονία δικαστηρίου : οἱ ἐνάγοντες φονικὰς δίκας. Ἤρετο : καὶ ἐπὶ τοῦ ἐπερωτᾶν καὶ ἐπὶ τοῦ ἐπαίρεσθαι τῷ φρονήματι. Θ.

theta 189 (27t) Θεωρικὰ χρήματα : τὰ διδόμενα εἰς τὸ κοινὸν διὰ τὸ θεωρεῖν. Θέτην : τὸν δανειζόμενον λογάριν ἐπ' οἰκίᾳ ἢ ἀνδραπόδῳ ἢ χωρίῳ. Θρασύς καὶ θαρσαλέος : ὁ μὲν θρασὺς διαβάλλεται, ὁ δὲ ἐπαινεῖται.

theta 190 Θρίπηδον : ἱμάτιον βεβρωμένον. Θωπεία : ἡ περισσὴ πρός τινας κολακεία. I.

iota 190 (6t) Ἰαμβοφάγον τὸν πταίοντα λέγουσιν. Ἱκετεία καὶ ἱκετηρία : ἱκετεία ἐπὶ δεήσεως, ἱκετηρία ἐπὶ συγγνώμης καὶ τύχης. K.

kappa 190 (13t) Κωλακρέται : οἱ κρατοῦντες δικαστικὴν ζημίαν. Κιγκλίς : τοὺς δρυφάκτους ἔλεγον κιγκλίδας. Καρποῦ : ὅταν τινὲς ξένην γῆν ἐργάζωνται, εἶτα διωχθέντες ἀπαιτῶνται τὰς ἐπικαρπίας. Κέρκωψ : ὁ δεινὸς ἀπατῆσαι. Καλλίας ὁ πίθηκος. Κρώβυλος : οὗτος ἔδωκε χρήματα Ἀθηναίοις καὶ ἔσωσε καταδίκους. Κεφάλαιον τὸ ἐγγύς, τὸ ἐν τῇ γῇ κείμενον. Καταλογεύς : ὁ ἐπιλεγόμενος τοὺς μέλλοντας ἄρχειν. Καββαλεία : ἡ παρὰ πονηροῦ ἀνθρώπου κολακεία. Κληρωταὶ ἀρχαὶ πρακτόρων, ἐκλογέων καὶ ἀντιγραφή. Κηδεσταί : καὶ οἱ δεδωκότες πρὸς γάμον ἀδελφὰς ἢ θυγατέρας, καὶ οἱ λαβόντες. Λ.

lambda 191 (1t) Λιπομαρτυρίου : ὅταν οἱ μάρτυρες ὁρισθῶσι μαρτυρῆσαι καὶ ἀποφύγωσιν. Λῆξις : ὅταν τις προγόνων ὀφείλων κληρονομῶν πράγματα, λέγῃ τὴν δίκην. Ληξιαρχικόν : κατεγράφοντο οἱ μέλλοντες ὀνομαστί, καὶ τοῦτό ἐστιν ἡ ληξιαρχία. Λυμαινομένου : ἀντὶ τοῦ λυμαίνοντος. M.

mu 191 (11t) Μεσεγγύημα : ὅταν τὰ ἐπιδικαζόμενα φίλος φυλάττειν παραλάβῃ καὶ ἀμφοτέρων τῶν ἀντιδίκων. Μαρτυρίαν ἐμβάλλεσθαι : τὸ προτρέχειν πρὸ καιροῦ μαρτυρῆσαι. N.

nu 191 (19t) Νομοφύλακες : οὗτοι ἐκώλυον παράνομόν τι ἢ ἀσύμφορον τῇ πόλει γενέσθαι. O.

omicron 191 (25t) Ὀργεῶνές εἰσιν οἱ κοινωνοῦντες ἀλλήλοις θεῶν ἢ ἡρώων ἐν ἱεροῖς, καὶ κοινῇ θυηπολοῦντες, ὡς Χάρης λέγει ἐν τῷ κατὰ Διονυσίου. καὶ πάλιν ὀργεῶνες τίνες, ἐν Ἀπολογίᾳ ὕβρεως σαφὲς ποιεῖ. οὗτοί εἰσιν οἱ τοῖς ἰδίᾳ ἀφιδρυμένοις θεοῖς ὀργιάζοντες καὶ τῶν ἱερῶν δὲ κρίνοντες ὀργεῶνας ἑαυτοὺς ἀλλήλους ἐκάλουν. Οὐσία : ὅταν μὴ σώζωσί τινες τοὺς καρποὺς ἀποδοῦναι, ἐκ πάσης αὐτοὺς τῆς οὐσίας ἀπαιτοῦνται.

omicron 192 Οἱ συντελεῖς : οἱ πολλοί, ὅτε μιᾶς νεὼς ἐπιμελοῦνται. Ὅρον ἐπιθεῖναι χωρίῳ : τοῦ δανεισαμένου τὸ ὄνομα ἐγράφετο εἰς σανίδα, καὶ ἐκρεμᾶτο ἐπὶ τοῦ ἀγροῦ. Ὁμοῦ καὶ ἐγγύς : καὶ

ἐπὶ χρόνου κεῖται καὶ ἐπὶ τόπου. Ὄκνος : ἐπὶ ἀργίας καὶ ῥᾳθυμίας καὶ ἀμελείας τινὲς τάσσουσιν, οἱ δὲ ῥήτορες ἐπὶ φόβων καὶ τοῦ φοβεῖσθαι. Π.

pi 192 (13t) Παρακαταβαλεῖν : τὸ διδόναι ἐγγύας, ὅτι δικαίως ἀπαιτεῖ. Πρυτανεῖα : πρόσοδος τοῦ δημοσίου, ὅταν ἀπὸ ζημίας τοῦ δικαζομένου γένηται. Περὶ τῶν ἕνδεκα : οὗτοι τεταγμένοι ἦσαν ἐπὶ τῶν κατακριθέντων θανάτῳ. Πωληταί : οἱ ἀπαιτηταὶ τῶν ὀφειλῶν. Προσμίξαι πρὸς τὴν χώραν : εἴ τις φεύγει φόνον ἑκούσιον, καὶ ὡς ἑκουσίως φονεύσας λέγει τοῦτο μὴ τολμᾷν. Παράσημος ῥήτωρ : ὁ νόθος, ἀπὸ τοῦ νομίσματος. Προδανειστής : ὁ ἀντὶ τοῦ δανειζομένου γραφόμενος τὴν ὁμολογίαν. Προηρόσια : θυσίαι ὑπὲρ τῶν μελλόντων γίνεσθαι καρπῶν. Πεντηκοστεύοντες : οἷον εἰς τὸν Πειραιᾶ κατάγοντες ἐτέλουν τοῖς ἐγχωρίοις. Περὶ Κόδρου : οἱ Πελοποννήσιοι, πολεμοῦντες Ἀθηναίοις, ἔλαβον χρησμὸν μὴ ἀποκτεῖναι Κόδρον τὸν βασιλέα.

pi 193 οἱ δὲ πρὸ τοῦ τείχους φρυγανιζόμενον ἀπέκτειναν, καὶ ἀπέτυχον τῆς νίκης. Πώμαλα : ἐπὶ τοῦ πάνυ. ὑφ’ ἓν δὲ δεῖ ἀναγινώσκειν. Παταικίων : ἐπίβουλος δεινὸς ἀνήρ. Παραλογίζεσθαι : ἐξαπατᾷν. Προκαταβολή : πρὸ τῆς προθεσμίας διδόμενον. Παρανόμων γραφή : ὅτε ἁλῷ τις προαμαρτήσας καὶ κατακριθῇ θανάτῳ. Παλαμναῖος : ὁ δαίμων ὁ τὰ μύση καὶ τὰ μιάσματα ἀποτρέπων. Πρὸ Εὐκλείδου : ἄρχων ἦν οὗτος, καὶ πρὸ αὐτοῦ ἐπολιτεύοντο καὶ οἱ τυχόντες. Σ.

sigma 193 (15t) Συμπρατήρ : ὁ τὰ πωλούμενα ὑφ’ ἑτέρου βεβαιῶν. Σάργον : τὸ δεινότατον οὕτω φησίν. Σκάνδικες : λάχανα αὐτομάτως φυόμενα. Τ.

tau 193 (21t) Τῶν μὴ ἐπεξιόντων τὰς δίκας : οἱ γραφόμενοι δίκας καὶ μὴ πάλιν ἐπεξιόντες, ἀλλ’ ὀλιγωροῦντες καταμαρτυρῆσαι. Τιμαγόρας : οὗτος παρὰ Ξέρξου χρήματα ἔλαβε, καὶ ὡς προδότης ἀνῃρέθη. Τιμοκράτης : καὶ οὗτος ὑπὸ Μακεδόνων ἔλαβεν ἀργύριον. Τριηράρχημα : ὅταν ὁ τριήραρχος περισσὸν δίδωσι τοῖς ναύταις. Τὸ ἀναγινώσκειν τὸ ἀναπείθειν λέγεται. Τήθη : πατρὸς ἢ μητρὸς μήτηρ, ἣν μάμμην καλοῦσιν. Τηθίς : πατρὸς ἢ μητρὸς ἀδελφή, ἣν λέγουσι θείαν.

tau 194 Τέως : ἐπὶ τοῦ προτέρου. Τηλικοῦτος : ἐπὶ μεγέθους ἢ πράγματος ἢ τόπου. Υ.

upsilon 194 (5t) Ὑπὸ μάλης : ἀντὶ τοῦ κρύφα, ὃ λέγουσι λάθρᾳ καὶ ἀφανῶς. τοῦτ’ ἔστιν ὑπὸ μασχάλης. Φ.

phi 194 (10t) Φονικόν : ἐὰν μέτοικόν τις ἀποκτείνῃ, φυγῆς μόνον κατεδικάζετο· ἐὰν μέντοι ἀστόν, θάνατος ἡ ζημία. Φρατριάζειν : τὸ μετέχειν φρατρίας. Φαυλόν : τὸ κακὸν καὶ τὸ εὐτελές. τάσσεται δὲ καὶ ἐπὶ πένητος καὶ ἀδόξου καὶ ἀνοήτου καὶ ἁπλοῦ. Φενακίζειν : τὸ ἐξαπατᾷν τοὺς ἀκροωμένους καὶ τοὺς ὁρῶντας. Ψ.

psi 194 (20t) Ψευδοκλητίας : ὅταν εἰς ἐμφανῶν κατάστασίν τινες κρύφα ἐνέγκαντες τοὺς ἀντιδίκους πρὸς τὸν κριτήν, ἐρήμην καταψηφίσαντες τοῦ ἑτέρου μέρους. Ψευδογραφή : ὅταν τοὺς ὀφείλοντας διδόναι τι τοῖς ἰδίοις ἔγγραφον προστίθησί τις διὰ τῆς προσθήκης. Ψευδομαρτυριῶν : ὅταν δικάζωνται ὅτι ἀδίκως καταμαρτυροῦνται.

Eulogikon public reading copy · View original HTML at eulogikon.org